Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

III. De novo quodam simulacro Antiochiae fabricato.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ἐσθῆτας, τὸ θαῦμα παρὰ πᾶσαν ὁρῶντας ἐλπίδα, συγχαίρειν τοῖς γεγενημένοις.

A nobis atque excidium minabantur, tam inſperatæ rei miraculo attoniti, nobis gratularentur.

ΚΕΦΑΛΑΙΟΝ Β.

Περὶ τῆς μετέπειτα διαστροφῆς.

Ταῦτα δ' οὐκέτι οἷός τε ὢν φέρειν ὁ τύραννος, μισόκαλος ἐς τὰ μάλιστα καὶ πάντων ἀγαθῶν ἐπίβουλος ὑπάρχων, ὃν ἔφαμεν τῶν ἐπ' ἀνατολῆς ἄρχειν μερῶν. οὐδ' ὅλους ἐπὶ μῆνας ἓξ τοῦτον ἐπιτελεῖσθαι τὸν τρόπον ἠνέσχετο. ὅσα δ' οὖν πρὸς ἀνατροπὴν τῆς εἰρήνης μηχανώμενος, πρῶτον μὲν εἴργειν ἡμᾶς τῆς ἐν τοῖς κοιμητηρίοις συνόδου διὰ προφάσεως πειρᾶται· εἶτα διά τινων πονηρῶν ἀνδρῶν αὐτὸς ἑαυτῷ καθ' ἡμῶν πρεσβεύεσθαι, τοὺς Ἀντιοχέων πολίτας παρορμήσας, ἐπὶ τὸ μηδαμῶς τινα Χριστιανῶν τὴν αὐτῶν οἰκεῖν ἐπιτρέπεσθαι πατρίδα, ὡς ἐν μεγίστῃ δωρεᾷ παρ' αὐτοῦ τυχεῖν ἀξιῶσαι. καὶ ἑτέρους δὲ ταυτὸ ὑποβαλεῖν διαπράξασθαι· ὧν πάντων ἀρχηγὸς ἐπ' αὐτῆς Ἀντιοχείας ἐπιφύεται Θεότεκνος. δεινὸς καὶ γόης καὶ πονηρὸς ἀνήρ, καὶ τῆς προσωνυμίας ἀλλότριος· ἐδόκει δὲ λογιστεύειν τὰ κατὰ τὴν πόλιν.

Caput II.

De pravitate quæ mox ſubſecuta eſt.

Verùm ille honeſtatis & bonorum omnium inimicus tyrannus, qui ut ſuprà diximus, in Orientis partibus Imperium gerebat; cùm hunc rerum ſtatum diutius ferre non poſſet, ne ſex quidem integris menſibus paſſus eſt eum permanere. Dumque ad ſubruendam pacem nihil non molitur; primùm quidem noſtros à conventibus qui in B cœmeteriis fieri ſolebant, neſcio quo prætextu arcere aggreſſus eſt. Deinde ipſe ad ſe legationem mittit adverſus noſtros; ſollicitatis per quoſdam nefarios homines Antiochenſibus, ut abs ſe inſtar maximi cujuſdam beneficii peterent, ne cui Chriſtianorum Antiochiam incolere liceret. Aliis quoque ut idem facerent ſuggeſſit. Quorum omnium auctor in ipſa urbe Antiochia exſtitit Theotecnus; vir violentus, verſutus atque improbus, qui tunc in illa civitate Curatoris officium gerebat.

Huc refer Niceph. l. 7. c. 25.

C

ΚΕΦΑΛΑΙΟΝ Γ.

Περὶ τοῦ κατ' Ἀντιόχειαν νεοπαγοῦς ξοάνου.

Πλεῖστα δ' οὖν οὗτος καθ' ἡμῶν στρατευσάμενος, καὶ πάντα τρόπον τοὺς ἡμετέρους ὥσπερ τινὰς φῶρας ἀνοσίους, ἐκ μυχῶν θηρεῦσαι διὰ σπουδῆς πεποιημένος. πάντα τε ἐπὶ διαβολῇ καὶ κατηγορίᾳ τῇ καθ' ἡμῶν μεμηχανημένος. καὶ θανάτου αἴτιος μυρίοις ὅσοις γεγονώς. τελευτῶν εἴδωλόν τι Διὸς Φιλίου μαγγανείαις τισὶ καὶ γοητείαις ἱδρύει. τελετάς τε ἀνάγνους αὐτῷ καὶ μυήσεις ἀκαλλιερήτους, ἐξαγιστούς τε καθαρμοὺς ἐπινοήσας, μέχρι καὶ βασιλέως τὴν τερατείαν δι' ὧν ἐδόκει χρησμῶν ἐκτελεῖν, ἐπεδείκνυτο· καὶ δὴ οὗτος κολακείᾳ τῇ καθ' ἡδονὴν τοῦ κρατοῦντος, ἐπεγείρει κατὰ Χριστιανῶν τὸν δαίμονα. καὶ τὸν Θεὸν δὴ κελεῦσαι φησιν, ὑπερορίους τῆς πόλεως καὶ τῶν ἀμφὶ τὴν πόλιν ἀγρῶν, ὡς ἂν ἐχθροὺς αὐτῷ Χριστιανοὺς ἀπελάσαι.

Caput III.

De novo quodam apud Antiochiam fabricato ſimulacro.

Hic igitur cùm nos anteà omnibus modis impugnaviſſet, & noſtros tamquam fures quoſdam ac maleficos inveſtigari, & ex latibulis ſuis erui curaſſet: cúmque nihil eorum quæ ad nos infamandos & calumniandos facere poterant omiſiſſet; innumeris denique D mortis cauſa exſtitiſſet: tandem ſimulacrum Jovis Philii magicis artibus conſecratum erexit. Cúmque ad ejus cultum impuras initiationes & inania myſteria ac deteſtandas expiationes inſtituiſſet: compoſitis quibuſdam oraculis ad ipſum uſque Imperatorem præſtigiarum ſuarum ſpecimen detulit. Fœdaque adulatione Principis gratiam captans, dæmonem adverſus Chriſtianos ſtimulat; fingens Deum jubere ut Chriſtiani quippe qui hoſtes ſui eſſent, urbe omníque territorio pellerentur.